ἕτερον τὸ θυσιαστήριον κληρικὸν ἀποσφάξαντες, καὶ ἄλλον τραυματίαν
ποιήσαντες, τέλος ἐπὶ κατέσφαξαν ἑαυτούς. Καί τις τῶν παρόντων, τὸ
καλὸν ἔλεγε σημαίνειν τὸ μόλυσμα τοῦ ναοῦ· ἐπιλέγων ἀρχαίου τινὸς ποιητοῦ
διστίχους ἰάμβους· σημεῖα γὰρ τὰ τοιαῦτα γίνεσθαι φιλεῖ, ὅταν ἐν ναοῖς ἐγκα-
τασκήψῃ μύσος. Ἔδοξε δὲ ὡς εἰπὼν οὐ διήμαρτε· τὴν διαίρεσιν γὰρ ὡς ἐ-
οικεν ἐσήμαινε τοῦ λαοῦ, καὶ καθαίρεσιν τοῦ αἰτίου τῆς διαιρέσεως:

λδ Περὶ τῆς ἐν Ἐφέσῳ τὸ πρότερον κατὰ Νεστορίου συναθροισθείσης συνόδου:

Οὐ πολὺς γὰρ ἐν μέσῳ χρόνος, καὶ τοὺς πανταχόθεν ἐπισκόπους πρόσταξις
τοῦ βασιλέως, εἰς τὴν Ἐφεσίων συνιέναι ἐκέλευσεν. Εὐθὺς οὖν μετὰ
τὴν τοῦ πάσχα ἑορτήν, ὁ Νεστόριος σὺν πολλῷ πλήθει ὄχλων, παρῆν εἰς τὴν
Ἔφεσον· εὑρίσκει τε πολλοὺς τῶν ἐπισκόπων συνεληλυθότας ἐκεῖ. Ὁ δὲ τῆς
Ἀλεξανδρείας Κύριλλος μικρὸν ὑστερήσας, περὶ τὴν πεντηκοστὴν ἀπήντησε.
Πέμπτῃ δὲ μετὰ τὴν πεντηκοστὴν ἡμέρᾳ, καὶ Ἰουβενάλιος ὁ Ἱεροσολύμων
ἐπέστη. Ἰωάννου δὲ τοῦ Ἀντιοχείας βραδύναντος, οἱ παρόντες ἀνεκίνουν τὸ
ζήτημα. Καὶ Κύριλλος ὁ τῆς Ἀλεξανδρείας, ἀκροβολισμούς τινας ἐποίει
τῶν λόγων, Νεστόριον ταράττειν βουλόμενος· καὶ γὰρ ἀπηχθῶς εἶχε πρὸς
αὐτόν. Καὶ δὴ πολλῶν θεολογούντων τὸν Ἰησοῦν, ἐγώ, ἔφη Νεστόριος, τὸν γενόμενον διμη-
νιαῖον καὶ τριμηνιαῖον, οὐκ ἂν θεὸν ὀνομάσαιμι· καὶ διὰ τοῦτο καθαρός εἰμι
ἀπὸ τοῦ αἵματος ὑμῶν· καὶ ἀπὸ τοῦ νῦν πρὸς ὑμᾶς οὐκ ἐλεύσομαι. Καὶ ταῦτ'
εἰπών, μετὰ τῶν λοιπῶν ἐπισκόπων ὑπεχώρει, οἳ τῇ αὐτοῦ ἠκολούθουν
γνώμῃ. Διῃροῦντο οὖν οἱ παρόντες εἰς δύο τμήματα. Οἱ οὖν περὶ Κύριλλον
συνέδριον ποιησάμενοι, ἐκάλεσαν τὸν Νεστόριον· ὁ δὲ ἐξ ὑποψίας εἰς τὴν
παρουσίαν Ἰωάννου τοῦ Ἀντιοχέως ὑπερτιθέμενος. Οἱ δὲ περὶ Κύριλλον τὰς
προσομιλίας Νεστορίου ἃς περὶ τοῦ ζητήματος εἰρήκει πολλάκις ὑπαναγνόντες,
ἐξ αὐτῶν τε κρίναντες εὐτόμως βλασφημήσαντα εἰς τὸν υἱὸν τοῦ
θεοῦ, καθεῖλον αὐτόν. Τούτου γενομένου, οἱ περὶ Νεστόριον ἕτερον καθ' αὑτοὺς
συνέδριον ποιησάμενοι, καθαιροῦσι Κύριλλον καὶ σὺν αὐτῷ Μέμνονα τὸν τῆς
Ἐφέσου ἐπίσκοπον. Οὐκ εἰς μακρὰν δὲ καὶ μετὰ ταῦτα ἐπέστη Ἰωάννης
ὁ τῆς Ἀντιοχείας ἐπίσκοπος· καὶ γνοὺς τὰ γενόμενα, ἀπήχθετο πρὸς Κύριλλον
ὡς αἴτιον τῆς γενομένης ταραχῆς, τὸ θερμῶς ποιῆσαι τὴν Νεστορίου κα-
θαίρεσιν. Κύριλλος δὲ ἅμα καὶ Ἰουβεναλίῳ ἀμυνό[...]μενος τὸν Ἰωάννην,
καθαιρεῖ καὶ αὐτόν. Τοῦ δὴ τοῦ τέλους οὕτω συμπεφυρμένου, [...] γνοὺς ὁ Νεστόριος
εἰς κοινωνίαν προιοῦσαν τὴν φιλονεικίαν, ἐκ μεταμελείας θεοτόκον τὴν Μαρίαν
ἐκάλει, λέγων· λεγέσθω φησὶ καὶ θεοτόκος ἡ Μαρία, καὶ παυσάσθω τὰ λυπηρά.

http://digital.slub-dresden.de/ppn334880238/512